Sapientiam omnium antiquorum exquiret sapiens: bona et mala in hominibus tentabit.

ΕΚ ΤΗΣ ΚΑΘΟΛΟΥ ΕΡΜΗΝΕΙΑΣ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,

ΕΚΛΟΓΑΙ ΕΝ ΕΠΙΤΟΜΗ ΕΚΛΕΓΕΙΣΑΙ

ΠΑΡΑ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

ΚΕΙΜ. ΠΑΥΛΟΣ δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος.

A

ΕΡΜΗ. Τρεῖς εἰσὶ δουλείας τρόποι· εἷς μὲν ὁ κατὰ τὴν δημιουργίαν, καθ' ὅ φησιν, ὅτι τὰ σύμπαντα δοῦλα σά, ἕτερος δὲ ὁ ἀπὸ πίστεως, κατὰ τὸ εἰρημένον· ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ, καὶ ὁ τρίτος ὁ ἀπὸ τῆς πολιτείας κατὰ τὸ εἰρημένον· Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκεν. Ἐπειδὴ τοίνυν κατὰ πάντας τοὺς τρόπους, τὸ τῆς δουλείας ἀξίωμα ἐδείκνυτο, εἰκότως ἐν κεφαλαίου τάξει προτάττει τῆς ἐπιστολῆς. B

Κείμενον. Ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ.

Ἑρμηνεία. Δείκνυσιν ὅσον αὐτοῦ τὸ ἀξίωμα, εἴγε ἀφώρισται ὑπὸ τοῦ Θεοῦ εἰς τὸ διακονῆσαι τὸ εὐαγγέλιον αὐτοῦ. Εὐαγγέλιον δὲ Θεοῦ καλεῖ, ἀπὸ τῶν προοιμίων διεγείρων τὸν ἀκροατήν.

Κείμ. Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις.

Ἑρμ. Ἐπειδὴ καινοτομίαν ἐνεκάλουν τῷ δόγματι, δείκνυσιν αὐτὸ πρεσβύτερον Ἑλλήνων ὄν, καὶ ἐν τοῖς προφήταις προδιαγραφόμενον. C

Κείμ. Περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα.

Ἑρμ. Οὐ περὶ ψιλοῦ ἀνθρώπου, φησὶν, ὁ λόγος ἡμῖν. Διό φησι τοῦτο προσέθηκε τὸ, κατὰ σάρκα, αἰνιττόμενος, ὅτι καὶ κατὰ πνεῦμα γέννησίς ἐστιν αὐτοῦ· τῇ τάξει δὲ τῆς

EX UNIVERSA INTERPRETATIONE

JOANNIS CHRYSOSTOMI

EXCERPTA COMPENDIARIA, SELECTA

A

JOANNE DAMASCENO.

AD ROMANOS.

TEXT. *PAULUS servus Jesu Christi, vocatus Apostolus.* CAP. I.

INT. Tres sunt genera servitutis. Aliud per creationem & opificium: unde dicitur, *Omnia serviunt tibi.* Aliud a fide, de quo ait: *Liberati autem a peccato servi facti estis justitiæ.* Tertium denique a vita & moribus: quo itidem sensu dicitur, *Moyses servus meus mortuus est.* Quando itaque juxta omnes modos ostensa dignitas est servitutis, consultò prorsus hanc initio epistolæ præponit, tanquam gloriandi argumentum. Psal. 118. v. 91. Rom. 6. v. 18. Jos. 1. v. 2.

Textus. Segregatus in Evangelium Dei.

Interpretatio. Ostendit quanta sit sua dignitas, quippe qui segregatus erat ut Evangelio ejus ministraret. Porro Evangelium Dei nominat, ut in ipsomet exordio attentionem excitet auditoris.

Text. Quod ante promiserat per Prophetas suos in Scripturis sanctis.

Int. Quandoquidem doctrinæ fidei novitatis crimen intendebatur, commonstrat eam tum Gentilibus Philosophis esse antiquiorem, tum & a Prophetis jampridem descriptam.

T. De Filio suo, qui factus est ex semine David secundum carnem.

I. Nequaquam nobis de nudo homine sermo est. Quocirca & hoc adjecit, *secundum carnem*, subindicans ejusdem quoque generationem esse secundum spiritum. Porro ministerii ordinem